Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0001-3

Bra. 142

1) Palladius, P.

nebst 2) – 7)

7 – 2) Holzschnitte!

6) – 7) Luthers Kleinen

Katechismus für Coburg

(griech. u. latein.)

MF (1-2,5)

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0002-8

# CATECHISMI GRÆCI CAPITA,

Cum

## SYMBOLIS NICÆNO, ET ATHANASIANO ET CANtico Ambrosii & Augustini.



*Si Græcam, dilecte puer, vis discere linguam,*
*Hic discenda tibi cum pietate datur.*

COBVRGI IN DVCALI TYPOGRAPHIA IMPRIMEbat Iustus Hauck.

Anno Christi clↃ IↃ C I V.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0003-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0004-9

I.

# Ο ΔΕΚΑΛΟΓΟΣ.

1. ἐντολὴ ἡ πρώτη.

οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι, πλὴν ἐμοῦ.

2. ἡ δευτέρα.

Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ.

3. ἡ τρίτη.

Μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων, ἁγιάζειν αὐτήν.

4. ἡ τετάρτη.

Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς.

5. ἡ πέμπτη.

Οὐ φονεύσεις.

6. ἡ ἕκτη.

Οὐ μοιχεύσεις.

7. ἡ ἑβδόμη.

Οὐ κλέψεις.

8. ἡ ὀγδόη.

Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

9. ἡ ἐννάτη.

οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου.

10. ἡ δεκάτη.

οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου.

οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὐδὲ παντὸς κτήνους αὐτοῦ, οὔτε ὅσα τῷ πλησίον σου ἐστί.

περὶ τούτων τῶν ἐντολῶν πασῶν
ὧδε λέγει θεός.

Ἐγώ εἰμι κύριος ὁ θεός σου, θεὸς ζηλωτής, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου.

## I I.

## ΣΥΜΒΟΛΟΝ ΤῸ ἈΠΟΣΤΟΛΙΚῸΝ.

τὸ πρῶτον μέρος περὶ τῆς κτίσεως.

1. Πιστεύω εἰς ἕνα θεὸν, πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς.

τὸ δεύτερον μέρος περὶ τῆς ἀπολυτρώσεως.

2. Καὶ εἰς Ἰησοῦν Χριστὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, κύριον ἡμῶν,
3. Συλληφθέντα ἐκ πνεύματος ἁγίου, τεχθέντα ἐκ Μαρίας τῆς παρθένου,
4. Παθόντα ἐπὶ Ποντίου Πιλάτου, σταυρωθέντα, θανόντα, καὶ ταφέντα,
5. Κατελθόντα εἰς ᾅδου, τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν,
6. Ἀνελθόντα εἰς οὐρανοὺς, καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρὸς καὶ θεοῦ παντοκράτορος,
7. Ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς.

τὸ τρίτον μέρος περὶ τοῦ ἁγιασμοῦ.

8. Πιστεύω εἰς πνεῦμα ἅγιον,

9. Ἁγίαν ἐκκλησίαν καθολικὴν, ἁγίων κοινωνίαν,

10. Ἄφεσιν ἁμαρτιῶν,

11. Σαρκὸς ἀνάστασιν,

12. Καὶ ζωὴν αἰώνιον, ἀμήν.

## III.

## ΕΥΧΗ Η ΚΥΡΙΑΚΗ.

1. Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.
ἁγιασθήτω τὸ ὄνομά σου,

2. Ἐλθέτω ἡ βασιλεία σου,

3. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.

4. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον,

5. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,

6. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν,

7. Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας, Ἀμήν.

## IV.

## ΑΓΙΟΥ ΤΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ μυστήριον.

Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

Ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται. ὁ δὲ ἀπιστήσας, κατακριθήσεται.

## V.

## Ἡ ΤΩΝ ΚΛΕΙΔΩΝ ἐξουσία.

Ὁ Ἰησοῦς ἐνέφυσε, καὶ λέγει τοῖς μαθηταῖς:

Λάβετε πνεῦμα ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς: ἄν τινων κρατῆτε, κεκράτηνται.

## VI.

## ΔΕΙΠΝΟΥ ΚΥΡΙΑΚΟΥ μυστήριον.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ, λέγων: λάβετε, φάγετε: τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ἡμῶν διδόμενον. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

Ὡσαύτως καὶ λαβὼν τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, εὐχαριστήσας ἔδωκεν αὐτοῖς, λέγων: λάβετε, πίετε ἐξ αὐτοῦ πάντες: τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.

Εὐλο-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0008-2

## Εὐλογία τῆς τραπέζης.

Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι Κύριε, καὶ σὺ δίδως αὐτοῖς τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.

Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιμπλᾷς πᾶν ζῶον εὐδοκίας.

Πάτερ ἡμῶν, &c.

Κύριε ὁ θεὸς, πάτερ οὐράνιε, εὐλόγησον ἡμᾶς, καὶ ταύτας τὰς δωρεὰς, ἃς ἀπὸ τῆς δαψιλείας σου λήψομεν, διὰ τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν, ἀμήν.

## Εὐχαριστία μετὰ τὸ ἐσθίειν.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ὁ διδοὺς τὴν τροφὴν πάσῃ σαρκὶ, καὶ τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν Κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.

Οὐκ ἐν δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ,

Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Πάτερ ἡμῶν, &c.

Εὐχαριστοῦμέν σοι, Κύριε θεὸς πάτερ, διὰ τοῦ Ἰησοῦ Χριστοῦ, Κυρίου ἡμῶν, ὑπὲρ πασῶν τῶν εὐεργεσιῶν σου, ὃς ζῇς καὶ βασιλεύεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Νικαῖον.

1. Πιςεύω εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

2. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριςὸν, τὸν υἱὸν τοῦ θεοῦ, τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων.

3. Θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτὸς, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ.

4. Γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο.

5. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν,

6. Καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα,

7. Σταυρωθέντα τε ὑπὲρ ὑμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα,

8. Καὶ ἀναςάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός,

9. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας (καὶ νεκροὺς

10. Οὗ τῆς βασιλείας οὐκ ἔςαι τέλος.

11. Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, καὶ ζωοποιὸν.

12. Τὸ ἐκ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ ἐκπορευόμενον, τὸ σὺν

πατρὶ

πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζό-
μενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

13. Καὶ εἰς μίαν ἁγίαν καθολικὴν καὶ Ἀποστολι-
κὴν ἐκκλησίαν.

14. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

15. Καὶ προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ
μέλλοντος αἰῶνος, ἀμήν.

## ΣΥΜΒΟΛΟΝ ΤΟΥ ἉΓΙΟΥ Ἀθανασίου.

1. Ὅστις βούλεται σωθῆναι, πρὸ πάντων χρὴ
κρατεῖν τὴν καθολικὴν πίστιν.

2. Ἣν εἰ μὴ εἷς ἕκαστος σώαν καὶ ἀμώμητον
τηρήσῃ, ἄνευ δισταγμοῦ εἰς τὸν αἰῶνα ἀπολεῖται.

3. Πίστις δὲ ἡ καθολικὴ αὕτη ἐστὶν, ἵνα ἕνα θεὸν ἐν
τριάδι, καὶ τριάδα ἐν μονάδι σεβώμεθα,

4. Μήτε συγχέοντες τὰς ὑποστάσεις, μήτε τὴν
οὐσίαν μερίζοντες.

5. Ἄλλη γάρ ἐστιν ἡ ὑπόστασις τοῦ πατρὸς, ἄλλη τοῦ
υἱοῦ, ἄλλη τοῦ ἁγίου πνεύματος.

6. Ἀλλὰ καὶ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύμα-
τος, μία ἐστὶν ἡ θεότης, ἴση ἡ δόξα, συναΐδιος ἡ με-
γαλειότης.

7. Οἷος ὁ πατὴρ, τοιοῦτος ὁ υἱὸς, τοιοῦτον καὶ τὸ
ἅγιον πνεῦμα.

8. Ἄκτιστος ὁ πατὴρ, ἄκτιστος ὁ υἱὸς, ἄκτιστον καὶ
τὸ πνεῦμα τὸ ἅγιον.

9. Ἀκατάληπτος ὁ πατὴρ, ἀκατάληπτος ὁ υἱὸς, ἀκατάληπτον καὶ τὸ πνεῦμα τὸ ἅγιον.

10. Αἰώνιος ὁ πατὴρ, αἰώνιος ὁ υἱὸς, αἰώνιον καὶ τὸ πνεῦμα τὸ ἅγιον.

11. Πλὴν οὐ τρεῖς αἰώνιοι, ἀλλ' εἷς αἰώνιος.

12. Ὥσπερ οὐδὲ τρεῖς ἀκατάληπτοι, οὐδὲ τρεῖς ἄκτιστοι, ἀλλ' εἷς ἄκτιστος, καὶ εἷς ἀκατάληπτος.

13. Ὁμοίως, παντοδύναμος ὁ πατὴρ, παντοδύναμος ὁ υἱὸς, παντοδύναμον καὶ τὸ πνεῦμα τὸ ἅγιον.

14. Πλὴν οὐ τρεῖς παντοδύναμοι, ἀλλ' εἷς παντοδύναμος.

15. Οὕτω θεὸς ὁ πατὴρ, θεὸς ὁ υἱὸς, θεὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον.

16. Πλὴν οὐ τρεῖς θεοὶ, ἀλλ' εἷς θεός.

17. Ὁμοίως Κύριος ὁ πατὴρ, Κύριος ὁ υἱὸς, Κύριον καὶ τὸ πνεῦμα τὸ ἅγιον.

18. Πλὴν οὐ τρεῖς κύριοι, ἀλλ' εἷς ἐστι Κύριος.

19. Ὅτι ὡς ἰδίαν μίαν ἑκάστου ὑπόστασιν θεὸν καὶ Κύριον ὁμολογεῖν, τῇ χριστιανικῇ ἀληθείᾳ βιαζόμεθα:

20. Οὕτω τρεῖς θεοὺς, ἢ τρεῖς κυρίους λέγειν, τῇ καθολικῇ εὐσεβείᾳ κωλυόμεθα.

21. Ὁ πατὴρ ἀπ' οὐδενός ἐστι ποιητὸς, οὔτε μὴν κτιστὸς, οὔτε γεννητός.

22. Ὁ υἱὸς ἀπὸ τοῦ πατρὸς μόνου ἐστὶν, οὐ ποιητὸς, οὐ κτιστὸς, ἀλλὰ γεννητός.

23. Τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, οὐ ποιητὸν, οὐ κτιστὸν, ἀλλ᾽ ἐκπορευτόν.

24. Εἷς οὖν πατὴρ, οὐ τρεῖς πατέρες, εἷς υἱὸς, οὐ τρεῖς υἱοὶ, ἓν πνεῦμα τὸ ἅγιον, οὐ τρία πνεύματα ἅγια.

25. Κἂν ταύτῃ τῇ τριάδι οὐδὲν πρότερον, ἢ ὕστερον, οὐδὲν μεῖζον, ἢ ἔλαττον,

26. Ἀλλὰ σῶαι αἱ τρεῖς ὑποστάσεις, καὶ συναΐδιοί εἰσιν ἑαυταῖς, καὶ ἴσαι.

27. Ὥστε κατὰ πάντα, καθὼς εἴρηται, καὶ τὴν μονάδα ἐν τριάδι σέβεσθαι δεῖ, καὶ τὴν τριάδα ἐν μονάδι.

28. Ὁ γοῦν βουλόμενος σωθῆναι, οὕτω περὶ τριάδος φρονείτω.

29. Πλὴν ἀναγκαῖόν ἐστι πρὸς αἰώνιον σωτηρίαν, ὅπως καὶ τὴν ἐνσάρκωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτι ὀρθῶς πιστεύσῃ.

30. Ἔστι γὰρ πίστις ὀρθὴ, ἵνα πιστεύωμεν, καὶ ὁμολογῶμεν, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ, θεὸς καὶ ἄνθρωπός ἐστι.

31. Θεὸς ἐκ τῆς οὐσίας τοῦ πατρὸς, πρὸ αἰώνων γεννηθεὶς, καὶ ἄνθρωπος ἐκ τῆς οὐσίας τῆς μητρὸς, ἐν τῷ αἰῶνι τεχθείς.

32. Τέλειος

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0013-9

32. Τέλειος θεὸς, τέλειος ἄνθρωπος, ἐκ ψυχῆς λογικῆς, καὶ ἀνθρωπίνης σαρκὸς ὑφιστάμενος.

33. Ἴσος τῷ πατρὶ κατὰ τὴν θεότητα, ἐλάττων τοῦ πατρὸς κατὰ τὴν ἀνθρωπότητα.

34. Ὃς, εἰ καὶ θεὸς, καὶ ἄνθρωπός ἐστιν, οὐ δύο ὅμως, ἀλλ' εἷς ἐστι χριστός.

35. Εἷς δὲ, οὐ τροπῇ τῆς θεότητος εἰς σάρκα, ἀλλὰ προσλήψει τῆς ἀνθρωπότητος εἰς θεόν.

36. Εἷς πάντως, οὐ συγχύσει τῆς οὐσίας, ἀλλ' ἑνότητι τῆς ὑποστάσεως.

37. Καὶ γὰρ ὡς ψυχὴ λογικὴ καὶ σὰρξ, εἷς ἐστιν ἄνθρωπος, οὕτω καὶ ὁ θεάνθρωπος, εἷς ἐστι χριστός.

38. Ὃς ἔπαθε διὰ τὴν σωτηρίαν ἡμῶν, κατῆλθεν ἐν ᾅδου, ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν.

39. Ἀνῆλθεν εἰς οὐρανοὺς, κάθηται ἐκ δεξιῶν τοῦ πατρὸς, καὶ θεοῦ παντοκράτορος.

40. Ὅθεν ἥξει κρῖναι ζῶντας καὶ νεκρούς.

41. Οὗ τῇ παρουσίᾳ πάντες οἱ ἄνθρωποι ἀναστήσονται μετὰ τῶν σωμάτων αὐτῶν,

42. Καὶ ἀποδώσουσιν ἐξ ἰδίων ἔργων ἀπολογίαν.

43. Καὶ οἱ μὲν τὰ ἀγαθὰ πράξαντες, πορεύσονται εἰς ζωὴν αἰώνιον, οἱ δὲ τὰ φαῦλα, εἰς τὸ πῦρ τὸ αἰώνιον.

44. Αὕτη ἐστὶν ἡ καθολικὴ πίστις, ἣν ἐὰν μή τις πιστῶς πιστεύσῃ, σωθῆναι οὐ δυνήσεται.

ὙΜΝΟΣ

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0014-5

# ὙΜΝΟΣ ἉΓΊΟΥ ΑΜΒΡΟΣΙΟΥ καὶ Αὐγουστίνου.

1. ΣΕ τὸν θεὸν ὑμνοῦμεν, σὲ τὸν κύριον ὁμολογοῦμεν, σὲ τὸν αἰώνιον πατέρα, πᾶσα ἡ γῆ σέβεται.

2. Σοὶ πάντες Ἄγγελοι, σοὶ οὐρανοὶ, καὶ πᾶσαι αἱ δυνάμεις, σοὶ τὰ χερουβὶμ καὶ σεραφὶμ ἀκαταπαύστῳ φωνῇ ἐκβοῶσιν·

3. Ἅγιος, ἅγιος, ἅγιος Κύριος, ὁ θεὸς σαβαώθ. πλήρεις οἱ οὐρανοὶ καὶ γῆ τῆς σῆς δόξης μεγαλειότητος.

4. Σὲ ἔνδοξος τῶν Ἀποστόλων χορὸς, σὲ ὁ τῶν Προφητῶν ὁ αἰνετὸς ἀριθμὸς, σὲ ὁ τῶν μαρτύρων λευκοειμόνων στρατὸς ἀνυμνεῖ, σὲ ἀνὰ τὴν οἰκουμένην ἡ ἁγία ὁμολογεῖ ἐκκλησία.

5. Πατέρα τῆς ἀμετρήτου μεγαλειότητος,

6. Τόν τε σεβάσμιον σὸν ἀληθῆ καὶ μονογενῆ υἱόν.

7. Καὶ τὸ ἅγιον καὶ παράκλητον πνεῦμα.

8. Σὺ βασιλεὺς δόξης Χριστὲ, σὺ τοῦ πατρὸς ἀΐδιος ὑπάρχεις υἱός,

9. Σὺ πρὸς τὸ λυτρώσασθαι τὸν ἄνθρωπον ἀναληψόμενος, οὐκ ἔφριξας τὴν τῆς παρθένου γαστέρα.

10. Σὺ νικήσας τοῦ θανάτου τὸ κέντρον, ἤνοιξας τοῖς πιστοῖς τὴν βασιλείαν τῶν οὐρανῶν.

11. Σὺ ἐκ δεξιῶν τοῦ θεοῦ κάθησαι, ἐν τῇ δόξῃ τοῦ πατρὸς, κριτὴς πιστευόμενος ἥξειν.

12. Σοῦ τοίνυν δεόμεθα, τοῖς σοῖς οἰκέταις βοήθει, οὓς τῷ τιμίῳ σοῦ ἐξηγόρασας αἵματι.

13. Καὶ ποίησον ἐν τῇ αἰωνίῳ δόξῃ τοῖς ἁγίοις σοῦ συναριθμηθῆναι.

14. Σῶσον τὸν λαόν σου, Κύριε, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτοὺς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

15. Καθ᾽ ἑκάστην ἡμέραν εὐλογοῦμέν σε, καὶ αἰνοῦμεν τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

16. Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

17. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σοί.

18. Ἐπὶ σοι, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, ἀμήν.

ΤΕΛΟΣ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0017-1

Martin Lŭther

[Kleiner Katechismŭs, lat.]

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0018-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0019-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0020-8

# CATECHISMI
## GRÆCI CAPITA,
CUM
## *SYMBOLIS NICÆNO,*
*ET ATHANASIANO ET CANtico Ambrosii & Augustini.*



*Si Græcam, dilecte puer, vis discere linguam,*
*Hic discenda tibi cum pietate datur.*

COBVRGI IN DVCALI
TYPOGRAPHIA IMPRIMEbat Iustus Hauck.

*Anno Christi* CIↃ IↃ CIV.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-666254-p0021-4